**Mar 3:13** Καὶ ἀναβαίνει
εἰς τὸ ὄρος

καὶ προσκαλεῖται οὓς
αὐτός ἤθελεν

καὶ ἀπῆλθον
πρὸς αὐτόν.

**Mar 3:14** καὶ ἐποίησεν δώδεκα = [οὓς
ὠνόμασεν] ἀποστόλους
ἵνα καὶ
ὦσιν
μετ᾽ αὐτοῦ
καὶ ἵνα
ἀποστέλλῃ αὐτοὺς
κηρύσσειν
**Mar 3:15** καὶ ἔχειν ἐξουσίαν
ἐκβάλλειν τὰ δαιμόνια

Mar 3:16 [καὶ ἐποίησεν τοὺς δώδεκα]

καὶ ἐπέθηκεν ὄνομα Πέτρον
τῷ Σίμωνι

Mar 3:17 καὶ Ἰάκωβον = τὸν
τοῦ Ζεβεδαίου

καὶ Ἰωάννην = τὸν ἀδελφὸν
τοῦ Ἰακώβου

καὶ ἐπέθηκεν ὀνόμα[τα] βοανηργές
αὐτοῖς

ὅ ἐστιν υἱοὶ
βροντῆς

Mar 3:18 καὶ Ἀνδρέαν

καὶ Φίλιππον

καὶ Βαρθολομαῖον

καὶ Μαθθαῖον

καὶ Θωμᾶν

καὶ Ἰάκωβον = τὸν
τοῦ Ἁλφαίου

καὶ Θαδδαῖον

καὶ Σίμωνα = τὸν Καναναῖον

Mar 3:19 καὶ Ἰούδαν Ἰσκαριώθ

ὃς παρέδωκεν αὐτόν.
καὶ